UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Sereno. 282.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Διδύμῳ. σπα.

Εἰ ἀλλόφυλοι ἐκ καππαδοκῶν ἀνήχθησαν, καὶ ἀπόγονοι καππαδοκῶν ἀλλόφυλοι. ἐξ ἀλλοφύλων δὲ καὶ γαβαωνῖται τυγχάνουσι. καππαδόκαι δῆλον ὅτι γαβαωνῖται. ἔχων οὖν τὴν ἐκείνων πονηρίαν ἀνάγραπτον, τί θαυμάζεις γιγάντιον. ὕπουλον γὰρ καὶ πονηρὸν ὡς ἐπὶ πᾶν τὸ γένος, εἰρήνῃ μὲν οὐ τερπόμενον, ἔρισι δὲ τρεφόμενον, καὶ μίαν ἔχον πηγὴν τοῦ πικροῦ καὶ γλυκέος· ἐν συντυχίᾳ χρηστολογοῦν, ἐν ἀπουσίᾳ καταλαλοῦν· ἀπατηλὸν, ἀναιδὲς, θρασὺ, δειλὸν, σκωπτικὸν, ἀνελεύθερον, δόλιον, μισάνθρωπον, ὑπεροπτικὸν, ἐν ταῖς τῶν φίλων εὐπραγίαις περίλυπον, ἐν δυσπραγίαις ἀκόρεστον· ἐν προσωπείῳ εὐλαβείας αἰχμαλωτίζον τὰ γυναικάρια, ἐν μανίᾳ χρυσοῦ ὑπερβάλλον τὸν βαβυλώνιον. πρὸς ψεῦδος ὀξύ. πρὸς τὸ παρορκῆσαι ταχὺ, καὶ οἷον ἔχεις τὸν πάμφαυλον καὶ παμμισῆ γιγάντιον τοιούτους ἅπαντας καὶ νόμιζε, καὶ γίνωσκε καππαδόκας.

συνουσία. λυπούμενον

*Didymo.* 281.

Si Philiſtæi à Cappadocibus genus traxerunt, ab ijsque oriundi ſunt, atque in Philiſtæorum numero Gabaonitæ ſunt, Cappadoces profectò Gabaonitæ ſunt. Cùm igitur eorum improbitatem ac nequitias literarum ſacrarum monimentis proditam atque conſignatã habeas, quid Gigantiũ miraris? ſubdola enim atque improba magna ex parte hæc natio eſt. Pace offenditur, contentionibus ac diſſidijs alitur, eundémque dulcis & amari fontem habet. In congreſſu blandè ac benignè loquitur: in abſentia obtrectat. Fallax eſt, impudens, temeraria, meticuloſa, cauillatrix, illiberalis, verſuta, inhumana, ſuperba, & contumax, in ſecundis amicorum rebus mœſta, in aduerſis læta & inſatiabilis. Sub pietatis larua mulierculas in captiuitatem redigit: atque inſano auri amore Babylonium ſuperat. Ad mentiendũ procliuis eſt: ad peierandum celer. Ac denique qualem habes improbiſſimũ ac prorſus exoſum Gigantium, tales omnes Cappadoces eſſe exiſtima, ac pro certo habe. *Iosue.*

Σερήνῳ. σπβ.

Ἐπειδὴ χῶρον ἡμῖν εὐζωΐας τὴν ἐν Ἐδὲμ κατοικίαν ὁ δημιουργὸς καὶ δεσπότης παρέχετο. δι' εὐκολίαν δὲ γνώμης, καὶ πονηρίαν τοῦ πλάνου ταύτης ἐξώσθημεν, καὶ εἰς γῆν ἐπίμοχθον καὶ θλιβερὰν παροικίαν ἐρρίφημεν, τοὺς ἐξ ἡμῶν πάλιν πτεροφυήσαντας, καὶ τὴν χαμαίζηλον ζωὴν καταλείψαντας, καὶ πρὸς τὸ ὕψος τῆς οὐρανίου πολιτείας ἐγγίσαντας, εἰς ἐκεῖνον τὸν χῶρον συνάγειν ὁ ἀγαθὸς χριστὸς ἐπηγγείλατο. καὶ τοῦτό ἐστιν, ὃ ἠρώτησας, Ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. ὅπου, φησὶ, τὸ ἥττημα διὰ τὴν ἄκρατον γεῦσιν ἐγένετο, ἐκεῖ καὶ ἡ νίκη διὰ νηστείας καὶ ἐγκρατείας, ἧς ἐγεώργησεν ἡ φύσις, κατώρθωται.

*Sereno.* 282.

Quoniam beatæ vitæ ſedem nobis rerum omnium architectus ac Dominus habitationem in Edem præbuerat, ob leuitatem autem animi, atque impoſtoris improbitatem ea exturbati ac deiecti, atque in ærumnoſam terrã, & grauem acerbamque peregrinationem proiecti ſumus: idcirco Chriſtus eos ex nobis, qui pennas rurſum induerint, atque terrena & abiecta hac vita relicta ad cæleſtis vitæ faſtigium acceſſerint, ad illum locum collecturum ſe pro ſua bonitate pollicitus eſt. Atque illud eſt, quod quæſiuiſti, vbi eſt τὸ πτῶμα, illic congregabuntur & aquilæ: hoc eſt, vbi ob intemperantem guſtum clades extitit, illic etiam victoria, per inediam & continentiam, quam natura protulit & excoluit, parta eſt. *Genes. 3.* *Genes.*

Πέτρῳ Ἀρχιμανδρίτῃ. σπγ.

Ἐκ τῶν ἀγγελικῶν ταγμάτων, καὶ τοῦ

*Petro Cœnobiarchæ.* 283.

Ex angelorum claſſibus, atque Apoſto-